῾πολλαῖσι μορφαῖς οἱ θεοὶ σοφισμάτων
σφάλλουσιν ἡμᾶς κρείττονες πεφυκότες᾿ 21

οὐ χεῖρόν ἐστιν ὑπενεγκεῖν τό (fr. 292, 7)

῾εἰ θεοί τι δρῶσι φλαῦρον, οὐκ εἰσιν θεοί᾿,

βέλτιον εἰρημένον ὑπ᾿ αὐτοῦ. καὶ τοῦ Πινδάρου σφόδρα πικρῶς καὶ παροξυντικῶς εἰρηκότος (Isth. IV 48)

῾χρὴ δὲ πᾶν ἔρδοντ᾿ ἀμαυρῶσαι τὸν ἐχθρόν᾿,

῾ἀλλ᾿ αὐτός γε σὺ λέγεις ὅτι (Isth. VII 47)

τὸ πὰρ δίκαν
γλυκὺ πικροτάτα μένει τελευτά,᾿

καὶ τοῦ Σοφοκλέους (fr. 749)

῾τὸ κέρδος ἡδύ, κἂν ἀπὸ ψευδῶν ἴῃ᾿,

καὶ μὴν σοῦ γ᾿ ἀκηκόαμεν ὡς (fr. 750)

῾οὐκ ἐξάγουσι καρπὸν οἱ ψευδεῖς λόγοι.᾿

πρὸς δ᾿ ἐκεῖνα τὰ περὶ τοῦ πλούτου (fr. 85, 6) B

῾δεινὸς γὰρ ἕρπειν πλοῦτος ἔς τε τἄβατα
καὶ †πρὸς τὰ βατὰ καὶ ὁπόθεν πένης ἀνήρ
οὐδ᾿ εὐτυχῶν δύναιτ᾿ ἂν ὧν ἐρᾷ τυχεῖν.
καὶ γὰρ δυσειδὲς σῶμα καὶ δυσώνυμον
γλώσσῃ σοφὸν τίθησιν εὔμορφόν τ᾿ ἰδεῖν᾿

ἀντιπαραθήσει πολλὰ τῶν Σοφοκλέους, ὧν καὶ ταῦτα ἐστί (fr. 751)

῾γένοιτο κἂν ἄπλουτος ἐν τιμαῖς ἀνήρ᾿

καί (fr. 752)

῾οὐδὲν κακίων πτωχός, εἰ καλῶς φρονεῖ᾿

καί (fr. 534)

῾ἀλλὰ τῶν πολλῶν καλῶν
τίς χάρις, εἰ κακόβουλος
φροντὶς ἐκτρέφει τὸν εὐαίωνα πλοῦτον;᾿ C